## *ΧΟΡΟΣ.*

*ὅστις σ', Ὀδυσσεῦ, μὴ λέγει γνώμῃ σοφὸν*
*φῦναι, τοιοῦτον ὄντα, μῶρός ἐστ' ἀνήρ.*

## *ΟΔΥΣΣΕΥΣ.*

*καὶ νῦν γε Τεύκρῳ τἀπὸ τοῦδ' ἀγγέλλομαι,*
*ὅσον τότ' ἐχθρὸς ἦν, τοσόνδ' εἶναι φίλος.*
*καὶ τὸν θανόντα τόνδε συνθάπτειν θέλω,*
*καὶ ξυμπονεῖν καὶ μηδὲν ἐλλείπειν ὅσων*
*χρὴ τοῖς ἀρίστοις ἀνδράσιν πονεῖν βροτούς.*

## *ΤΕΥΚΡΟΣ.*

*ἄριστ' Ὀδυσσεῦ, πάντ' ἔχω σ' ἐπαινέσαι*
*λόγοισι, καί μ' ἔψευσας ἐλπίδος πολύ.*

1374. *γνώμῃ σοφόν*] Qu. *γνώμην σοφόν.* Phil. 910. *κακὸς γνώμην ἔφυν.* El. 546. *κακοῦ γνώμην.* Œd. R. 687. *ἀγαθὸς ὢν γνώμην ἀνήρ.* But Aj. 964. *οἵ γὰρ κακοὶ γνώμαισι.*

1375. *φῦναι*] *φύναι* P.

1376. *καὶ νῦν γε* —] '*And now too I declare to Teucer henceforth &c.*' Hartung reads: *ναί· νῦν δὲ* —.

*γε* A. L. T. &c. *δὲ* G.

*τἀπὸ τοῦδ'*] I. e. *τὸ ἀπὸ τοῦδ'.* '*Henceforth*'. Matth. Gr. §. 283.

*ἀγγέλλομαι*] I. q. *ἐπαγγέλλομαι*, '*I profess myself, I announce myself*'. Gl. P: *λέγω, μηνύω.* Dem. p. 938. *ταῦτα γὰρ ἐπαγγέλλεται δεινὸς εἶναι.* Cf. on Œd. R. 148.

1377. *τότ'*] Cf. 1240.

*ἦν* the mss. vulg. Seyf. *ἦ* Elmsl. Dind. Nauck.

*φίλος* L. corr. m. ant. *φίλον* L. pr. P.

1378. *θέλω*] '*I am willing*', if desired.

1379. *μηδὲν ἐλλείπειν ὅσον* —] Concisely put for *μηδὲν ἐλλείπειν τούτων ἃ* —. The same construction as in 115. *χρῶ χειρί· φείδου μηδὲν ὧνπερ ἐννοεῖς.* Tr. 1123. *οὐδὲν ξυνίημ' ὧν σὺ ποικίλλεις πάλαι.* El. 1379. *ἐξ οἵων ἔχω.* 319. 1048. Cf. Ant. 585. *ἄτας οὐδὲν ἐλλείπει.* Tr. 90. *οὐδὲν ἐλλείψω τὸ μὴ οὐ — πυθέσθαι* &c. Æsch. Prom. 341. *προθυμίας γὰρ οὐδὲν ἐλλείπεις.* 963. *πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω.* Sept. 10. *τὸν ἐλλείποντ' ἔτι | ἥβης ἀκμαίας.* Isocr. Or. XV. §. 159. *οὐδὲν ἀπολείποντας κακῶν.* Some may perhaps feel disposed to connect *καὶ ξυμπονεῖν ὅσον*, the words *καὶ μηδὲν ἐλλείπειν* being put in parenthesis: cf. 68. 844. But such a construction appears to me very improbable.

*ὅσον* vulg. Lob. Herm. Wund. Hart. Schn. Seyf. Wo. (Who understand *ξυμπονῶν* with *ἐλλείπειν.*) *ὅσον* (sup. *ω*) G. *ὅσον* (supr. *ωι* a m. ant., i. e. *ὅσων*) L. *ὅσων* Pors. Elmsl. Dind. Nauck. Qu. *ὅσα.*

1380. *τοῖς — πονεῖν*] Cf. Œd. C. 508.

1381. *πάντ' ἔχω σ' ἐπαινέσαι*] Eur. Med. 453. *ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω | γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν.*

1382. *λόγοισι — τούτῳ*] *τούτοισι — λόγῳ* conj. Nauck.